τες δὲ οἱ υἱοὶ Ισραηλ ἐκ τῆς πόλεως αὐτῶν ἐπέστησαν αὐτῷ καὶ
λύσαντες αὐτὸν ἀπήγαγον εἰς τὴν Βαιτυλουα καὶ κατέστησαν αὐ-
τὸν ἐπὶ τοὺς ἄρχοντας τῆς πόλεως αὐτῶν, [15]οἳ ἦσαν ἐν ταῖς ἡμέ- 15
ραις ἐκείναις, Οζιας ὁ τοῦ Μιχα ἐκ τῆς φυλῆς Συμεων καὶ Χαβρις
ὁ τοῦ Γοθονιηλ καὶ Χαρμις υἱὸς Μελχιηλ. [16]καὶ συνεκάλεσαν πάν- 16
τας τοὺς πρεσβυτέρους τῆς πόλεως, καὶ συνέδραμον πᾶς νεανί-
σκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν ἐκκλησίαν, καὶ ἔστησαν τὸν
Αχιωρ ἐν μέσῳ παντὸς τοῦ λαοῦ αὐτῶν, καὶ ἐπηρώτησεν αὐτὸν
Οζιας τὸ συμβεβηκός. [17]καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐτοῖς τὰ ῥή- 17
ματα τῆς συνεδρίας Ολοφέρνου καὶ πάντα τὰ ῥήματα, ὅσα ἐλάλη-
σεν ἐν μέσῳ τῶν ἀρχόντων υἱῶν Ασσουρ, καὶ ὅσα ἐμεγαλορρημό-
νησεν Ολοφέρνης εἰς τὸν οἶκον Ισραηλ. [18]καὶ πεσόντες ὁ λαὸς 18
προσεκύνησαν τῷ θεῷ καὶ ἐβόησαν λέγοντες [19]Κύριε ὁ θεὸς τοῦ 19
οὐρανοῦ, κάτιδε ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν καὶ ἐλέησον τὴν τα-
πείνωσιν τοῦ γένους ἡμῶν καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τῶν
ἡγιασμένων σοι ἐν τῇ ἡμέρᾳ ταύτῃ. [20]καὶ παρεκάλεσαν τὸν Αχιωρ 20
καὶ ἐπῄνεσαν αὐτὸν σφόδρα, [21]καὶ παρέλαβεν αὐτὸν Οζιας ἐκ τῆς ἐκ- 21
κλησίας εἰς οἶκον αὐτοῦ καὶ ἐποίησεν πότον τοῖς πρεσβυτέροις, καὶ
ἐπεκαλέσαντο τὸν θεὸν Ισραηλ εἰς βοήθειαν ὅλην τὴν νύκτα ἐκείνην.
[1]Τῇ δὲ ἐπαύριον παρήγγειλεν Ολοφέρνης πάσῃ τῇ στρατιᾷ αὐ- 7
τοῦ καὶ παντὶ τῷ λαῷ αὐτοῦ, οἳ παρεγένοντο ἐπὶ τὴν συμμαχίαν
αὐτοῦ, ἀναζευγνύειν ἐπὶ Βαιτυλουα καὶ τὰς ἀναβάσεις τῆς ὀρεινῆς
προκαταλαμβάνεσθαι καὶ ποιεῖν πόλεμον πρὸς τοὺς υἱοὺς Ισραηλ.
[2]καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς ἀνὴρ δυνατὸς αὐτῶν· καὶ 2
ἡ δύναμις αὐτῶν ἀνδρῶν πολεμιστῶν χιλιάδες πεζῶν ἑκατὸν ἑβδο-
μήκοντα καὶ ἱππέων χιλιάδες δέκα δύο χωρὶς τῆς ἀποσκευῆς καὶ
τῶν ἀνδρῶν, οἳ ἦσαν πεζοὶ ἐν αὐτοῖς, πλῆθος πολὺ σφόδρα. [3]καὶ 3
παρενέβαλον ἐν τῷ αὐλῶνι πλησίον Βαιτυλουα ἐπὶ τῆς πηγῆς καὶ
παρέτειναν εἰς εὖρος ἐπὶ Δωθαϊμ ἕως Βελβαιμ καὶ εἰς μῆκος ἀπὸ
Βαιτυλουα ἕως Κυαμωνος, ἥ ἐστιν ἀπέναντι τοῦ Εσδρηλων. [4]οἱ δὲ 4
υἱοὶ Ισραηλ, ὡς εἶδον αὐτῶν τὸ πλῆθος, ἐταράχθησαν σφόδρα καὶ
εἶπαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Νῦν ἐκλείξουσιν οὗτοι τὸ
πρόσωπον τῆς γῆς πάσης, καὶ οὔτε τὰ ὄρη τὰ ὑψηλὰ οὔτε αἱ φά-
ραγγες οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ βάρος αὐτῶν. [5]καὶ ἀναλα- 5

14 αυτω] επ αυτον A | επι] εις A || 15 μ(ε)ιχα] χειμα A† | γοθονιου S*† | χαλμεις A† | υιος] ο του S* | μελχ(ε)ιηλ] σελλημ S*† || 16 συνεκαλεσεν B† | της πολεως] ισραηλ S*† | αυτων ult. > S† || 17 ελαλησαν AV† || 18 τω θεω] pr. κυριω S† || 19 κατιδε] επιβλεψον S*L*†

7 1 τω > A† | οι] και S† || 2 χιλιαδες $1^0$] + ανδρων B† | εκατον εβδομηκ.] οκτω S*†, ρκ′ S$^c$† | ιππεων] ε > S† | και ult. > B || 3 επι $1^0$ > S† | βελβαιμ] αβελβ. S†, αβελμαειν *L*†, αβελμεν 58†: cf. 4 4 | απο] εως B† | εσδρηλωμ A: cf. 1 8 || 4 αυτων $1^0$ > A† | ειπον S, ειπεν A | αυτου] -των S† | της γης / πασης] tr. A